ʽτέχνην | αὐτὴν οὐ καλῶʼ. ἵνα οὖν τοῦτο εὕρωμεν, διακρίνομεν τὰς τέχνας· εἴρηται καλῶς ἐν τῷ Φαίδρῳ ὅτι δεῖ τὸν περί τινος διαλεγόμενον πρότερον διορίζειν, εἶθ᾽ οὕτως διδάσκειν, ἐπεὶ τὸν μὴ τοῦτο ποιοῦντα ἀνάγκη τοῦ παντὸς ἁμαρτάνειν. οἷον ζητοῦμεν εἰ ἡ ψυχὴ ἀθάνατος· οὐκ ὀφείλομεν ἀποφήνασθαι, ἀλλὰ πρότερον διακρῖναι καὶ εἰπεῖν ὅτι ἡ ψυχὴ οὐχ ἕν τί ἐστιν ἀλλὰ πολλά· ἔστι γὰρ ψυχὴ καὶ λογικὴ καὶ ἄλογος, ἔτι δὲ καὶ φυτική, ὅθεν καὶ τὰ φυτὰ ζῆν λέγομεν. φαμὲν οὖν ὅτι ἡ μὲν λογικὴ ἀθάνατος, αἱ δὲ λοιπαὶ δύο θνηταί. καὶ πάλιν λέγομεν ὅτι ἡ λογικὴ ἀθάνατος καὶ οὐκ ἀθάνατος· οὐκ ἀθάνατος μέν, εἰ τὸ ἀθάνατον λάβοιμεν κατὰ τὸ ἀεὶ καὶ ὡσαύτως ἔχον, ἀθάνατος δὲ κατὰ τὸ ἀίδιον καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὴν ἐνέργειαν. *15*

2 Δεῖ οὖν καὶ ἐπὶ τῶν τεχνῶν τοῦτο ζητῆσαι. ἰστέον ὅτι διττὸς ὁ ὅρος τῆς τέχνης. τέχνη γάρ ἐστι μέθοδος ὁδῷ καὶ τάξει μετὰ φαντασίας προϊοῦσα· τὸ δὲ ʽμετὰ φαντασίαςʼ προσέθηκεν ὁ φιλόσοφος πρὸς ἀντιδιαστολὴν τῆς φύσεως, καὶ ἡ φύσις γὰρ ὁδῷ καὶ τάξει πρόεισιν, ἀλλ᾽ οὐ μετὰ φαντασίας. ἔστι δὲ πάλιν τέχνη σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένον πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. κατὰ μὲν οὖν τὸν πρῶτον ὅρον καὶ ἡ ψευδώνυμος ῥητορικὴ τέχνη ἂν κληθείη· ὁδῷ γὰρ κέχρηται καὶ τάξει, προοίμια πρότερον τάττουσα εἶτα κατάστασιν καὶ τὰ ἐφεξῆς. κατὰ δὲ τὸν δεύτερον οὐκ ἔστιν τέχνη αὕτη, ἀλλὰ

**mg. 16** τί ἐστι τέχνη